καθάπερ κατὰ τοὺς πλείστους Ἐρασίστρατος καὶ Ἡρόφιλος, ὡς
παρασεσημείωται, καὶ Ἀπολλώνιος ὁ Μῦς ἐν τῷ πρώτῳ καὶ
τρίτῳ ⟨τῶν Περὶ⟩ τῆς αἱρέσεως καὶ Ἀσκληπιάδης κατὰ τοὺς
πλείστους καὶ ὁ Φιλαλήθης Ἀλέξανδρος Θεμίσων τε καὶ Θεσ-
σαλὸς καὶ οἱ ἀπ' αὐτῶν.

3. εἰς μέντοι τὴν συνηγορίαν τοῦ ἴδια πάθη γίνεσθαι γυναικῶν 1
τοιαῦτά τινα φέρεται. γυναικείους τινὰς λέγομεν ἰατρούς, ὅτι τὰ
γυναικῶν θεραπεύουσι πάθη, καὶ μαίας ἐν ταῖς νόσοις ὁ βίος εἴωθεν
παρακαλεῖν, ὅταν αἱ γυναῖκες ἴδιόν τι πάσχωσιν καὶ ὃ μὴ κοινόν ἐστιν
πρὸς τοὺς ἄνδρας· φύσει τε τὸ θῆλυ τοῦ ἄρρενος διαφέρει μέχρι τοῦ 2
καὶ Ἀριστοτέλην καὶ Ζήνωνα τὸν Ἐπικούρειον εἰπεῖν ἀτελὲς
μὲν εἶναι τὸ θῆλυ, τέλειον δὲ εἶναι τὸ ἄρρεν· ὃ δὲ τῇ ὅλῃ φύσει
διαφέρει, τοῦτο καὶ ἰδίαν ἐπεδέξατο πεῖσιν. ἔτι γε μὴν ἡ μήτρα μέρος
ἴδιον γυναικῶν, καὶ τὰ ἐνεργήματα τῆς μήτρας ἐπὶ μόνων τούτων
ἐστίν, οἷον κάθαρσις, σύλληψις, ἀπότεξις * * * * * * * * *
πάθη δὲ ἑπτὰ πρῶτα καὶ ἁπλᾶ· διόπερ οὐδὲν ἴδιον ὑποστήσεται πάθος 3
γυναικῶν. καὶ Ἡρόφιλος ἐν τῷ Μαιωτικῷ φησι τὴν ὑστέραν ἐκ 4
τῶν αὐτῶν τοῖς ἄλλοις μέρεσι πεπλέχθαι καὶ ὑπὸ τῶν αὐτῶν δυνά-
μεων διοικεῖσθαι καὶ τὰς αὐτὰς παρακειμένας ἔχειν ὕλας καὶ ὑπὸ τῶν
αὐτῶν αἰτιῶν νοσοποιεῖσθαι (καθάπερ πλήθους, πάχους, διαφορᾶς | τῶν 301
ὁμοίων)· οὐδὲν οὖν ἴδιον πάθος γυναικῶν πλὴν τοῦ κυῆσαι καὶ τοῦ
τὸ κυηθὲν ἐκθρέψαι καὶ ἀποτεκεῖν καὶ τὸ γάλα πεπᾶναι καὶ τὰ ἐναντία
τούτοις. οἱ δὲ Ἀσκληπιάδειοι κατασκευάζοντες ὡς οὐδέν ἐστιν 5
πάθος ἴδιον γυναικῶν φασιν, ὅτι τὸ θῆλυ τοῖς ἄρρεσιν ἐκ τῶν αὐτῶν
συγκέκριται, στοιχείων ὥσπερ, τῶν ὄγκων καὶ ὑπὸ τῆς αὐτῆς αἰτίας
νοσοποιεῖται (τοῦτ' ἔστιν τῆς ἐνστάσεως, ταύτην γὰρ τῶν πλείστων
παθῶν συνεκτικὴν εἶναί φασιν) καὶ δι⟨ὰ τῶν⟩ αὐτῶν θεραπεύεσθαι
ποιουμένων τε καὶ προσφερομένων· οὐδὲν οὖν ἴδιον πάθος θηλειῶν,
κοινὴ γὰρ αὐτῶν καὶ ἡ φυσιολογία καὶ ἡ αἰτιολογία καὶ ἡ θεραπεία.

11 Ἀριστοτέλην] *cf. De gen. an. 20 p.* $728^{a}$ *17* 14 τὰ ἐνεργήματα τῆς μήτρας] *cf. p. 13, 2 sq.*

2 sq. $α^{ω}$′ καὶ $γ^{ω}$′ τῆς αἱρέσεως P: *suppl.* ⟨περὶ⟩ *Ermerins*, ⟨τῶν περὶ⟩ *Rose* 4 πλείονας P: *corr. Rose* θεμίσσων τὲ καὶ θεταλὸς P 5 οἱ *om.* p 7 φέρεσθαι P: *corr. Ermerins* 8 εν τες (*erat* τος) νοσοις ο βι$^{o}$αc p: ὁ βίος ἐν ταῖς νόσοις P 10 sq. αρρενα [οc διαφερει] μεχρις ου (*correctum fort. in* μεχρι του) και αριστοτ[ελην και ζηνωνα] τον επικουριον p: ἄρρενος διαφέρει μέχρι τοῦ καὶ ζήνωνα καὶ ἀριστοτέλην τὸν ἐπικούριον P: *correxerat Ermerins*: *Parisini ordine servato* κατ' Ἀριστοτέλην *Rose* 12 τελιον δε ειναι p: *om.* εἶναι P 13 ·ι·διαν επε[δεξατο πειcιν p: ἰδίας ἐπιδέχεται πήσειν P (πείσεις *Dietz*) 15 *post* ἀπότεξις P *habet* τούτων οὖν τὰ λίποντα γέγραπται ἐν τῷ τέλει καὶ σφήνωσιν (*scil. p. 96, 6 sq.*): *seclus. Reinhold* *desunt ea ipsa Erasistrati argumenta, proprias esse mulierum passiones negantis, quae reiciuntur infra p. 96, 4* φαμὲν γὰρ *sqq.* 19 παρεγκειμένας *Ermerins* 20 αἰτίων P: *corr. Rose* 24 αἵρεσιν P: *corr. Dietz* 25 στοιχίων ὥσπερ P: *transpos. Ermerins* 26 ταύτης P: *corr. Dietz* 27 παθῶν *Ermerins*: καθ' ὧν P δι' αὐτῶν P: *suppl. Ermerins* θεραπεύεται *Rose*